ἀντὶ τοῦ τετρακεφάλου. αἰνίττεται δὲ εἰς τὴν Λαμάχου περικεφαλαίαν τρεῖς λόφους ἔχουσαν ἀπὸ τῶν περικειμένων αὐτῇ πτίλων. ὃ δὲ θέλει εἰπεῖν, τοῦτό ἐστι. βούλει πρὸς δυσκαταγώνιστόν τινα μάχεσθαι. ὁ γὰρ Γηρυόνης οὗ ἐμνήσθη, τρικέφαλος ἦν καὶ πολὺν ἀγῶνα παρέσχε τῷ Ἡρακλεῖ. δείκνυσι δὲ αὐτῷ τι τῶν τετραπτερυλλίδων ἅμα τοῦτο λέγων, ἀντὶ τοῦ εἰπεῖν Γηρυόνῃ τρισωμάτῳ, τετραπτίλῳ εἶπεν. Αἶ αἶ.] τούτων τινὲς τὸ μὲν πρῶτον, διὰ τῆς αι διφθόγγου. θρηνητικὸν γάρ. τὸ δὲ δεύτερον, ψιλόν. θαυμαστικὸν γάρ.

BISETUS. Αἶ, αἶ.] οἱ μὲν περισπῶσιν, οἱ δὲ ὀξυτονοῦσιν, ὃ καὶ βέλτιον. Εὐστάθιος. αἰ εὐκτικὸν πολλαχοῦ παρ' Ὁμήρῳ, ἀντὶ τοῦ εἴθε. ἔστι καὶ μεμπτικὸν, καὶ δυσφορικὸν, ὡς τὰ πολλὰ δὲ θρηνητικόν. ὅθεν καὶ ὁ Αἴας, καὶ τὸ αἰάζειν, τὸ θρηνεῖν. Σοφ. ἐν Αἴαντι μαστιγοφόρῳ,

Αἴ, αἴ. τίς ἄν ποτ' ᾤεθ' ὧδ' ἐπώνυμον
Τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς;
Νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοί.

Σχόλια. Οἵαν ἀγγελίαν.] τὸν πόλεμον δηλονότι. Αἶ αἶ, τινὰ δ' αὖ μοι προστρέχει.] ἔρχεται ἄγγελος καλῶν τὸν Δικαιόπολιν εἰς δεῖπνον καί φησι.

Βάδιζε, τὴν κίστιν λαβὼν καὶ τὸν χοᾶ.
Ὁ τοῦ Διονύσου γάρ σ' ἱερεὺς μεταπέμπεται.
Ἀλλ' ἐγκόνει. δειπνεῖν κατακωλύεις πάλαι.
Τὰ δ' ἄλλα πάντ' ἐστὶν παρεσκευασμένα.
Κλῖναι, τράπεζαι, προσκεφάλαια, στρώματα.
Στέφανοι, μύρον, τραγήμαθ', αἱ πόρναι πάρα.
Ἄμυλοι, πλακοῦντες, σησαμοῦντες, ἴτρια.
Ὀρχηστρίδες, τὰ φίλταθ' Ἁρμοδίου, καλαί.
Ἀλλ' ὡς τάχιστα σπεῦδε. Λα. κακοδαίμων ἐγώ.
Δι. Καὶ γὰρ σὺ μεγάλην ἐπεγράφου τὴν Γοργόνα.
Σύγκλειε, καὶ δεῖπνόν τις ἐνσκευαζέτω.
Λα. Παῖ παῖ, φέρ' ἔξω δεῦρο τὸν γύλιον ἐμοί.
Δι. Παῖ παῖ, φέρ' ἔξω δεῦρο τὴν κίστιν ἐμοί.
Λα. Ἅλας θυμίτας οἶσε παῖ καὶ κρόμμυα.
Δι. Ἐμοὶ δὲ τεμάχη. κρομμύοις γὰρ ἄχθομαι.
Λα. Θεῖον ταρίχους οἶσε σαπροῦ δεῦρό μοι.
Δι. Κἀμοὶ δὲ σὺ παῖ θεῖον. ὀπτήσω δ' ἐκεῖ.
Λα. Ἐνεγκὲ δεῦρο τὼ πτερὼ τὼ κ τοῦ κράνους.
Δι. Ἐμοὶ δὲ τὰς φάττας γε φέρε καὶ τὰς κίχλας.
Λα. Καλόν γε καὶ λευκὸν τὸ τῆς στρουθοῦ πτερόν.
Δι. Καλόν γε καὶ ξανθὸν τὸ τῆς φάττης κρέας.
Λα. Ὤνθρωπε. παῦσαι καταγελῶν μου τῶν ὅπλων.
Δ. Ὤνθρωπε. βούλει μὴ βλέπειν εἰς τὰς κίχλας;
Λα. Τὸ λοφεῖον ἐξένεγκε τῶν τριῶν λόφων.
Δι. Κἀμοὶ λεκάνιον τῶν λαγῴων δὸς κρεῶν. (γον.
Λα. Ἀλλ' ἦ τειχόβρωτες τοὺς λόφους μου κατέφα-
Δι. Ἀλλ' ἦ πρὸ δείπνου τὴν μίμαρκυν κατέδομαι.
Λα. Ὤνθρωπε βούλει μὴ προσαγορεύειν ἐμέ;
Δι. Οὐκ. ἀλλ' ἐγὼ χὠ παῖς ἐρίζομεν πάλαι.

*Abi, & cistam panariam fer, & choa,*
*Nam Liberi sacerdos te ad epulum vocat.*
*Sed propera, cœnaturus iamdudum in mora es.*
*Omnia parata sunt cætera, mensæ, tori,*
*Puluini, stragula, serta, vnguenta: sunt item*
*Præstò bellaria: præstò sunt meretriculæ,*
*Panes, placentæ, sesamontes, itria:*
*Tum deliciæ Harmodij, pulcræ tibicinæ.* (pe tu
*Sed agè propera ocyus. LA. me miserũ. DI. quip-*
*Magnam tibiipsi vendicabas Gorgona.*
*Occlude, & cœnam mihi aliquis nunc apparet.*
*LA. Puer, effer sportam militare huc mihi forâs.*
*DI. Puer, huc cistam panariam mihi fer forâs.*
*LA. Sales thymo intritos, & cepas fer mihi.*
*DI. At mihi tomacula: nam cepas fastidio.*
*LA. Salsamenti putris veterem adipem mihi.*
*DI. Et mihi da salsam adipẽ, ego assabo hic eã.*
*LA. Effer pennas è galea cristata mihi.*
*DI. Huc effer turtures & turdos tu mihi.*
*LA. Pulcra est & alba sanè penna passeris.*
*DI. Pulcra 'st & flaua isthæc sanè caro turturis.*
*LA. Ah mi homo, cessa ridere armaturam meã.*
*DI. Ah mi homo, vin' tu vultum ad turdos non vertere?*
*LA. Loculamentum trium cristarũ cedò mihi.*
*DI. Catinum leporinarum carnium mihi.*
*LA. Nisi criniuori cristas meas exederint.*
*DI. Nisi ante cœnam farcimen ego deuorem.*
*LA. Mi homo: vin' tu tandẽ cessare me alloqui?*
*DI. Nõ. sed ego & puer hic inter nos cõtẽdimus*

Σχόλια. Βάδιζε τὴν κίστιν.] τότε γὰρ οἱ καλοῦντες ἐπὶ δεῖπνον στεφάνους καὶ μύρα καὶ τραγήματα καὶ ἄλλα τοιαῦτα παρετίθεσαν. οἱ δὲ καλούμενοι ἔφερον ἑψήματα. κίστιν δὲ τὴν ὀψοθήκην. Ὅμηρος. μήτηρ δ' ἐν κίστῃ ἐτίθει μενοεικέ' ἐδωδήν. ὄψα τε οἷα ἔδουσι διοτρεφέες βασιλῆες. χοᾶ δὲ ἐπεφέροντο οἱ καλούμενοι, ἵνα μὴ κοινωνῶσιν ἄλλου ποτηρίου, διὰ τὴν ἐπὶ Ὀρέστῃ γινομένην αἰτίαν. Ἐγκόνει.] ἀντὶ τοῦ σπεῦδε. μέλλοντας γὰρ αὐτοὺς δειπνεῖν ἐπέχεις. Σησαμοῦντες.] ἄλλο σησαμοῦς, καὶ ἄλλο σησάμη. σησαμοῦς μὲν εἶδος πλακοῦντος. σησάμη δὲ ἣν ἡμεῖς καλοῦμεν σησαμίδα. ἴτρια δὲ τὰ πυρώδη πλάσματα. Ὀρχηστρίδες] ὑπερβατόν ἐστιν, ὀρχηστρίδες πάρεισι καλαί. καὶ τὰ φίλτατα τοῦ Ἁρμοδίου. τοῦτ' ἔστι τὰ εἰς Ἁρμόδιον σκολιὰ ᾄσματα. ὅπερ ἀνωτέρω ἔφη, Ἁρμοδίου μέλος ᾄσεται. Ἐπεγράφου τὴν Γοργόνα.] ὅτι ἐζωγράφουν ἐν τῇ ἀσπίδι μεγάλην Γοργόνα. Τὸ γύλιον.] γύλιος, σπυριδῶδες πλέγμα. ἐν ᾧ τὰς τροφὰς ἔχοντες οἱ στρατιῶται ἐβάδιζον ἐπὶ πόλεμον. Θεῖον ταρίχους.] ἐπεὶ ἐπὶ φύλλων τὰ τεμάχη βαλλόμενα βαστάζονται. σαπροῦ δὲ, ἀντὶ τοῦ παλαιοῦ καὶ μὴ νέου. σκεύασμα δέ τι παρὰ Ἀθηναίοις τὸ θρῖον. ὅπερ λαμβάνει, ὕειον στέαρ ἢ ἐρίφειον, καὶ σεμίδαλιν, καὶ γάλα. καὶ οὕτως εἰς φύλλα συκῆς ἐμβαλλόμενον, ἥδιστον ἀποτελεῖ βρῶμα. οὕτω Δίδυμος. ἐκαλεῖτο δὲ καὶ ἄλλη τις σκευασία, θρῖον. ἐγκέφαλος μετὰ γάρου καὶ τυροῦ κατασκευαζόμενος, καὶ ἑλιττόμενος ἐν φύλλῳ συκῆς καὶ ὀπτώμενος. Τὸ λοφεῖον] ἐὰν μὲν ὑποκοριστικὸν, δηλοῖ ἐλάττονα τῶν τριῶν λόφων. ἐὰν δὲ διὰ τῆς ει διφθόγγου, προπερισπᾶται καὶ δηλοῖ τὴν θήκην. Λεκάνιον.] κρατῆρα πεπληρωμένον τῶν λαγῴων κρεῶν. λεκάνια δὲ καὶ λεκανίδας, τὰ μείζονα τῶν ὀξυβάφων καὶ ἐκπέταλα. Τειχόβρωτες] σῆτες. θρὶξ σκώληξ κατεσθίων τὰς τρίχας. καὶ προπερισπωμένως δὲ λέγεται τειχοβρῶτες. Ἀλλ' ἦ πρὸ δείπνου] κυρίως μὲν μίμαρκυς ἡ λαγῴα χορδὴ ἐκ τῶν ἐντέρων. λέγεται δὲ καὶ ἐπὶ χοίρου. ἄλλως. μίμαρκυς σκευασία τις τῆς κοιλίας ἢ τῶν ἐντέρων. οἱ δὲ τὴν ἐκ τοῦ λαγῴου αἵματος καὶ τῶν ἐντοσθίων σκευαζομένην καρύκην. Ἄνθρωπε βούλει.] κατ' ἐρώτησιν. δηλοῖ δὲ τὸ ἐν ἔχθρᾳ εἶναι.